UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Acta sanctorum

quotquot toto orbe coluntur, vel a catholicis scriptoribus celebrantur, quae ex Latinis et Græcis, aliarumque gentium antiquis monumentis

Quo dies nonus et decimus continentur

**Bolland, Johannes**

**Parisiis et Romae, 1925**

VII. Laudatio S. Theodori A. Chrysippo Cum Libello Miraculorum

urn:nbn:de:hbz:466:1-72556

Visual Library

*Barbari caecitate perculsi.* — VITA S. THEODORI

**16.** *Θαῦμα θʹ.* Τῇ αὐτῇ ἡμέρᾳ τοῦ σαββάτου ἐκείνου οἱ τῆς χειρὸς τῶν ἐχθρῶν διασωθέντες ὡς ἔφαμεν λειτουργοί, ἐν τῷ τοῦ ἁγίου εἰσελθόντες λειτουργῆσαι ναῷ, βοῦν ηὗρον τοῖς τῆς αὐτοῦ κοιμήσεως προσδεδεμένον καγκέλλοις · περὶ οὗ πλεῖστα διαπορούσιν τῇ ἑξῆς τινες τῶν πλησιαζόντων καὶ ἀπὸ τοῦ προσκειμένου ὄρους κατοπτευόντων διηγήσαντο ταῦτα ὡς · ἄνθρωπός τις ἀπὸ τῆς Παφλαγόνων χώρας τὸν βοῦν ἐκεῖνον φέρων τῷ ἁγίῳ προσαγωγὴν παρ' αὐτοῖς τὴν νύκτα κατέλυσεν τῆς παρασκευῆς · τοῦτόν τε τῷ πρωῒ σὺν τῷ βοῒ ἀποστείλαντες τήν τε ἔφοδον τῶν ἐχθρῶν μετὰ τοῦτο μεμαθηκότες καὶ δρασμῷ χρησάμενοι, ἀπὸ τῆς ἀκρωρείας ἔβλεπον τὸν καρποφόρον ἄνδρα ἐπανερχόμενον · καὶ τοῦτον προσκαλεσάμενοι ἠρώτων, ὅπως περισωθεὶς ἐπανήρχετο. Ὁ δὲ διομνύμενος ἔφασκεν μηδαμῶς ἑωρακέναι τινά, ἀλλ' ἐν τῇ πόλει, φησίν, εἰσελθὼν καί τινα μηδαμοῦ εὑρηκώς, τὸν ὑπ' ἐμοῦ προσκομισθέντα βοῦν τοῖς καγκέλλοις τῆς τοῦ ἁγίου κοιμήσεως προσδεδεκὼς ἀπεχώρησα. Τούτων ἀκηκοότες παρ' αὐτοῦ τῶν ῥημάτων τόν τε ἄνδρα διασεσωσμένον ὁρῶντες, ἀπιστεῖν μὲν παντελῶς οὐκ ἠδύναντο, ἐξίσταντο δὲ ὅμως καὶ διηπόρουν, πῶς τὴν αὐτὴν τοῖς ἐχθροῖς διοδεύσας ὁδὸν τῆς τούτων διεσώθη χειρός. Ὄντως θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ · οὕτως γὰρ καὶ οἱ τῷ Ἐλισσαίῳ ποτὲ ἐπιστάντες Ἀσσύριοι[1] ἐπατάχθησαν ὁράσεως ἀχλύι[2] παραδοθέντες τούτῳ καὶ παίγνιον ἰδεῖν οὐ δυνάμενοι, καίτοι ἐγγὺς ἔχοντες τὸν ζητούμενον · ὡς καὶ νῦν ὁ μάρτυς τὸν πρὸς αὐτὸν μετὰ πίστεως ἥκοντα σέσωκεν, ῥυσάμενος τοῦτον τῆς φονίας τῶν ἐχθρῶν δεξιᾶς, εἰς δόξαν καὶ εὐχαριστίαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν · μεθ' οὗ τῷ πατρὶ καὶ Θεῷ δόξα, κράτος, τιμὴ καὶ προσκύνησις σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων · ἀμήν. — IV Reg. 6, 18.

B **16.** — [1] *Ἀσύριοι* A 3. — [2] *ἁ ὁρασία χλεύη* A 3 ; *ὁράσεως ἀχλύι* Ed. Kurtz. E

---

# VII. LAUDATIO S. THEODORI A. CHRYSIPPO

## CUM LIBELLO MIRACULORUM

*E codicibus* **A 1** = *Parisiensi bibl. Nat. 1452,* **A 3** = *Vindobonensi Theol. gr. 60,* **A 5** = *Ambrosiano F. 144. sup.,* **A 6** = *Romano bibl. Angelicae 106,* **B 1** = *Hierosolymitano S. Sepulchri 1,* **B 2** = *Genuensi Missionis Urb. 34,* **B 3** = *Brixiensi bibl. Querinianae A. III. 3 et* **E** = *Eustratii excerpta. — Miraculorum recensio brevior edita est e codd.* **M 1** = *Vaticano 821,* **M 2** = *Parisiensi Coislin 121. Cf. Comm. praev. num. 25-7.*

*Χρυσίππου πρεσβυτέρου Ἱεροσολύμων ἐγκώμιον[1] εἰς τὸν ἅγιον μεγαλομάρτυρα[2] Θεόδωρον τὸν Τήρωνα καὶ μερικὴ τῶν ἀπείρων αὐτοῦ θαυμάτων[3] διήγησις.*

*S. Theodorus martyrio et miraculis clarus.*

**1.** Μάρτυρος ὑπερλάμποντος ἐν τοῖς μάρτυσιν[1] εὐφημίαν εἰς τὸ παρὸν προτιθεὶς ὑμῖν, ὦ πατέρες ἀγαπητοί μου[2] καὶ[3] ἀδελφοί, κοινωνοὺς πάντας ὑμᾶς ἐξαιτῶ γενέσθαι τῆς ἐπ' αὐτῇ[4] σπουδῆς, ἑνὶ μὲν καὶ πρώτῳ συνεπισχύοντάς με[5] ταῖς προσευχαῖς, δευτέρῳ δὲ μετὰ τοῦτο τῇ προθυμίᾳ τῇ[6] περὶ τὴν ἀκρόασιν · ἐγὼ τοίνυν[7] προεισφέρω τὰ ῥήματα, ὑμεῖς τὴν διὰ[8] τῶν[9] πραγμάτων[10] εὐγνωμονεῖτε[11] τιμήν · ἐγὼ προβάλλομαι τὴν φωνήν, ὑμεῖς χορηγεῖτε τὴν ἀκοήν · ἐγὼ κινῶ τὴν κιθάραν[12], ὑμεῖς ἐνεργεῖτε τὰ κρούματα[13] · ἐγὼ[14] ψηλαφῶ τὰς χορδάς[15], ὑμεῖς τὴν συμφωνίαν[16] τῷ θεάτρῳ[17] παράσχεσθε[18] · κοινωνήσωμεν τῆς[19] ἐπὶ τῷ παρόντι σπουδῆς[20] τῆς εἰς ἀλλήλους[21], ἐπειδήπερ καὶ εἰς αὐτήν με τὴν τῆς εὐφημίας ταύτην ἐγχείρησίν τινες ἐξ ὑμῶν, ὡς ἴστε μὴ[22] προβεβουλευμένον διήγειραν, μισθόν μοι τοῦ πρὸς τὸν λόγον πόνου τὴν εἰς αὐτοὺς τοὺς λόγους[23] χάριν ἐπαγγειλάμενοι διὰ τῆς ἐνεργείας τοῦ μάρτυρος · ὅθεν εἰ[24] καὶ ἐμαυτῷ[25], σύνοιδα μηδὲν ἄξιον εἰπεῖν δυναμένῳ[26] τῆς ὑποθέσεως, ἀλλὰ θαρρῶ γε ὅμως[27] εὐάρεστον F τῷ ὑμνουμένῳ τὸ δῶρον ἔσεσθαι, λογιζόμενος ὅτι καὶ οἱ τῇ πρὸς ἐμὲ παρακλήσει χρησάμενοι πάντως[28] οὐκ ἄνευ τῆς εὐδοκίας τῆς παρ' αὐτοῦ πρὸς ἐκείνην ἐσπούδασαν.

*Saeviente persecutione*

Στεφανούσθω τοίνυν τῷ λόγῳ καὶ παρ' ἡμῶν ὁ λαμπρὸς[29] μάρτυς[30] Θεόδωρος · στεφανούσθω καὶ παρ' ἡμῶν[31], εἰ καὶ μή τινος μέχρι νῦν ἔτυχεν παρ' ἡμῖν[22] ἱερᾶς αὐλῆς (1) · στεφανούσθω καὶ παρ' ἡμῶν[33] · πανταχοῦ γὰρ ἁπάντων[34] πάρεστι τῶν ἁγίων ἡ δύναμις, πανταχοῦ[35] πάντες τῇ δόξῃ λάμπουσιν · παντα-

**Lemma.** — [1] *διήγησις τῶν παραδόξων θαυμάτων τοῦ ἁγίου καὶ πανενδόξου μεγαλομάρτυρος Θ.* A 3. — [2] *μάρτυρα* B 1. — [3] (*τὸν - θαυμ.*) *ἔτι δὲ καὶ τῶν αὐτοῦ θαυμ. μερικὴ* B 1.

**1.** — [1] *ἐν τοῖς μ. ὑπερλάμποντος* B 1. — [2] (*ἀγαπ. μου*) *om.* B 1. — [3] *om.* B 1. — [4] *αὐτῆς* B 1. — [5] *μοι* A 3. — [6] *τὴν* B 1. — [7] *om.* B 1. — [8] *δι'* A 3. — [9] *αὐτῶν* A 3. — [10] *om.* A 3. — [11] *ἀγνωμονεῖτε* A 3. — [12] *κιθάρα* A 3. — [13] *κρούσματα* A 3, B 1. — [14] *om.* A 3. — [15] *ἐγὼ add.* A 3. — [16] *τ. σ. ὑμεῖς* A 3. — [17] *τοῦ θεάτρου* B 1. — [18] *παρέχεσθε* B 1. — [19] *om.* A 3. — [20] *τὸ παρὸν τῇ σπουδῇ* A 3. — [21] (*τ. ε. ἀλ.*) *ἀλλήλοις* A 3, B 1. — [22] *με* A 3. — [23] A 3, B 1 ; *τοῦ λόγου* A 1. — [24] *om.* B 1. — [25] *ἐμαυτὸν* A 3. — [26] *δυνάμενον* A 3 ; *δυναμένῳ εἰπεῖν* B 1. — [27] *ἀλλ' ὅμως γε θαρρῶν* A 3 ; *ὅμως τ'* A 5. — [28] *om.* A 2. — [29] *λαμπρότατος* A 3. — [30] *μάρτος* A 5. — [31] *ὑμῶν* A 3. — [32] *ἡμῶν* A 3. — [33] *ὁ τερπνότατος μάρτυς Θεόδωρος add.* A 3. — [34] *om.* A 3. — [35] *γὰρ add.* B 1.

(1) Nullum ergo anno circiter 460, quo Chrysippus haec scribebat (Comm. praev. n. 24) Hierosolymis templum erat S. Theodoro dicatum. Anno 532, teste Cyrillo Scythopolitano, mentio est *μαρτυρίου τοῦ ἁγίου Θεοδώρου*. Comm. praev. n. 52.

-χοῦ

LAUDATIO AUCT. CHRYSIPPO

χοῦ πάντες[36] δι' ὧν ἐνεργοῦσι γνωρίζονται. Τίνα με[37] δεῖ καὶ τρόπον[38] τούτῳ ἰδίᾳ[39] πλέξαι[40] τὸν στέφανον[41]; ποῖα δὴ[42] πρῶτα ἄνθη προσαγαγεῖν αὐτῷ; Τὰ μὲν γὰρ ὁ[43] τοῦ μαρτυρίου λειμὼν ἡμῖν, τὰ δὲ ὁ[44] τῶν θαυματουργημάτων παρέχεται[45]. Ποῖα οὖν πρῶτα ἄρα προβάλλωμαι; Τὰ ἐκ τοῦ μαρτυρίου; θαυμαστὴν ἔχει τὴν κατὰ πίστιν ἀνδραγαθίαν· τὰ ἐκ τῶν θαυματουργημάτων; ἡδονὴν πλείω[46] φέρει ταῖς ἀκοαῖς. Ἐκεῖνα πλεονεκτεῖ τῇ τῆς προαιρέσεως γενναιότητι, ταῦτα[47] τῇ ἐνεργείᾳ τῆς χάριτος· πλὴν ἀλλὰ καὶ ἐν τῷ λόγῳ προτερευέτω τὰ καὶ τῷ χρόνῳ προηγησάμενα. Λέγωμεν τοιγαροῦν πρῶτα τὰ κατὰ τὸ μαρτύριον[48].

Rom. 1,25. **2.** Πόλεμον συνεκρότησαν ἀναιδῆ κατὰ τοῦ βασιλέως τῶν οὐρανῶν οἱ βασιλεύοντες τότε ἐπὶ τῆς γῆς (1), μᾶλλον δὲ[1] κατὰ τοῦ βασιλέως οὐ μόνον[2] τῶν οὐρανῶν ἀλλὰ καὶ[3] ὅλης τῆς κτίσεως· κάτωθεν ἀπετόλμων οἱ δυσσεβεῖς τὴν πρὸς τὰ[4] ἄνω παράταξιν, κάτωθεν ὁ πηλὸς τὸν ἑαυτοῦ πλάστην ἐτόξευεν καὶ
B δόγμα[5] περιεφέρετο τῇ κτίσει[6] λατρεύειν ἐπαναγκάζον ἀντὶ τοῦ κτίσαντος καὶ τοῖς οὐκ οὖσι θεοῖς τὰς[7] διὰ τῶν μιασμάτων εὐγνωμονεῖν[8] τιμάς. Ἐντεῦθεν ἠγείροντο πανταχοῦ βωμοί, πανταχοῦ[9] πῦρ ἀνήπτετο μιαρόν, πανταχοῦ κνίσσαι[10] καὶ αἵματα τὴν γῆν φθείροντα, τὸν ἀέρα μολύνοντα, βδελυκτὴν τοῖς ἀγγέλοις ὀσμὴν προβάλλοντα[11], παροργίζοντα τὸν Θεὸν ὡς ὑπὸ[12] τῶν αὐτοῦ ποιημάτων ἀγνοούμενον[13]. Ἐν τοιούτῳ[14] καιρῷ τῆς[15] ἐν τῷ[16] σώματι γενναιότητος εἰς στρατιωτικὴν[17] ἀγούσης τάξιν τὸν μάρτυρα, στρατείαν καὶ αὐτὸς ἑαυτὸν[18] στρατεύει τῆς ὁρωμένης πολλῷ[19] βελτίονα[20]. Ὅτε γοῦν καὶ ἐκκαλύψαι τοῦτο[21] ἐδέησεν σαφῶς, ὃ καὶ[22] ἐξελάλει πρὸς ἅπαντας, ὅτι τῷ οὐρανίῳ βασιλεῖ μᾶλλον ἢ τοῖς ἐπιγείοις στρατεύοιτο, μετὰ τοῦ πατρὸς ὀνομάζων καὶ τὸν υἱόν, μεθ' ὧν εὔδηλον ὅτι καὶ τὸ πνεῦμα τὸ ἅγιον συνομολογεῖ[23]. Ταῦτα δὲ πρόφασις αὐτῷ γίνεται τῆς τοῦ μαρτυρίου λαμπρότητος. Ὁ μὲν γὰρ τοῦ καταλόγου προεστηκὼς πρῶτος[24] (2) τῆς παρρησίας τῆς[25] ἐπὶ τούτοις αἰσθόμενος, διελέγχειν τε ἅμα καὶ ὑποσκώπτειν ὑπολαβὼν ὥσπερ εἴ[26] τι σοφώτατον κατ' αὐτοῦ κἀκεῖνο[27] προέφερεν[28]· «Ἆρ' οὖν[29] ὁ Θεός σου καὶ υἱὸν ἔχει ὡς ἄνθρωπος;» Ὁ δὲ πρὸς ταῦτα

*Theodorus miles christianus*

*a iudice interrogatur.*

D ἀνταπεκρίνατο σύντομα μὲν τὰ ῥήματα, πολλῆς δὲ ὅμως μεστὰ ζωῆς· «Ναί, ἔχει κατὰ ἀλήθειαν[30] υἱὸν ὁ ἐμὸς Θεός· ἔχει υἱὸν[31] τὸν αὐτὸν[32] Θεὸν καὶ λόγον· ἔχει υἱὸν τοῦτον[33] δι' οὗ τὰ πάντα ἐποίησεν[34].» Τοιοῦτον τὸ πρῶτον ἀγωνιστήριον τῆς[35] ἐν τοῖς λόγοις ἀνδραγαθίας[36] τοῦ μάρτυρος· ποῖον δὲ καὶ[37] ἐφεξῆς ἔργον ἔτι δὴ[38] μείζονος εὐτολμίας ἐπήγαγεν;

**3.** Κατιδὼν τοὺς[1] τοῦ τυραννικοῦ δόγματος[2] ὑπουργοὺς τῆς κατὰ τῶν εὐσεβεῖν βουλομένων παρανομίας οὐδένα κόρον λαμβάνοντας, ἀλλὰ τοὺς μὲν αἰκισμοῖς[3] πολυτρόποις[4] μερίζοντας, τοὺς δὲ εἰς θανάτους[5] ἀπάγοντας, τὴν εὐτυχίαν[6] τὴν ἐπὶ τούτοις οὐκ ἐνεγκών, δεσποτικόν τι διανοεῖται πρᾶγμα καὶ ἐκπληροῖ. Τί γὰρ δή φησιν ὁ Σωτήρ; Ἓν ἔργον ἐποίησα καὶ Ioh. 7, 21.
πάντες θαυμάζετε. Δι' ἑνὸς τοίνυν καὶ οὗτος ἔργου[7] πάντας τοὺς τῶν εἰδώλων ὑπερμαχοῦντας κατέπληξεν, πάντας ἀποθαυμάζειν ἐποίησεν, πάντας εἰς πένθος προσήγαγεν[8] καὶ ὀδύνην ἀπαραμύθητον. Τί οὖν καὶ τὸ πραχθὲν ἦν[9]; E
Τὸν ναόν, ὃν ὑπερεσέβοντο[10] μάλιστα, νυκτερινῷ ἀωρὶ[11] μόνος ἀνάψας, τῷ πυρὶ[12] διέφθειρεν· ὑπερέσεβον[13] δὲ ἐκεῖνον[14] οὐκ ἀπεικότως[15], ἀλλ' ἐπειδὴ καθιέρωτο τῇ μητρὶ τῶν ὀνομαζομένων[16] αὐτοῖς θεῶν· ὅθεν καὶ πολὺ πλέον ἐφλέγμαινον, ὡς μετὰ τῆς μητρὸς καὶ ὅλου τοῦ τῶν δαιμόνων ἐνυβρισμένου συστήματος. Ἐπεὶ οὖν πονηρὸς μηνυτὴς πονηροτέρῳ προσήγαγεν δικαστῇ[17] τὴν κρίσιν, πολλὰς ἐπιβαλὼν ἅμα καὶ λοιδορίας κατὰ τοῦ μάρτυρος, πρίν τι σχεδὸν καὶ[18] ἐρωτῆσαι τὸν δικαστήν, αὐτὸς αὐθαιρέτως[19] ὡμολόγει τὸ ἐγκαλούμενον σὺν παρρησίᾳ[20] πολλῇ βοῶν· «Ἐμὸν[21] τὸ ἔργον, ἐμόν[22]· οὐκ ἀρνοῦμαι τὸ τόλμημα, μᾶλλον δὲ ἐπ' αὐτῷ καὶ[23] ὑπεράγαν σεμνύνομαι.» Τούτοις[24] προσανεμίγνυεν καὶ τὴν αὐτοῦ τοῦ εἰδώλου στηλίτευσιν, πυνθανόμενος, εἰ τοιαύτη τις ἦν ἡ μήτηρ τῶν παρ' ὑμῖν[25] θεῶν, ὡς μηδὲ ἑαυτὴν ῥύσασθαι δυνηθῆναι ἐκ τοῦ πυρός[26]. Ἐκ τούτων[27] οὐ μέχρι λόγων ἡ συμπλοκὴ λοιπὸν[28] τοῖς ἀνοσίοις ἐγένετο[29]· τὰς χεῖρας δὲ κατ' αὐτοῦ κινεῖν ὁ δικαστὴς τοῖς δημίοις ἐπέταττεν καὶ παίειν αὐτοῦ τὸ στόμα συντρί- F
βειν <τε[30]> αὐτοῦ τὰς παρειάς, ἠπείλε δὲ[31] καὶ πικροτέρας εἰς τὸ ἑξῆς βασάνους[32]. Τοῦ[33] δὲ οὐκ ἐνέκοπτε τὴν μεγαλοφροσύνην τὴν ἐκ

*Templum Matris deorum incendit.*

[36] (τῇ - πάντες) A 3, 5; *om.* A 1, B 1. — [37] δὲ καὶ τίνα με B 1; τίνα με τίνα A 5. — [38] δεῖ τρόπῳ B 1. — [39] (τούτῳ ἰδ.) ἰδίῳ B 1; εὖ A 3. — [40] διαπλέξαι A 3; πλέξω B 1. — [41] τούτῳ *add.* A 3. — [42] χρῆ B 1. — [43] A 5, B 1; *om.* A 1. — [44] (τὰ μὲν - ὁ) τὰ ἐκ τοῦ μαρτυρίου ἢ ἃ διὰ A 3. — [45] παρέπεται A 3. — [46] πλεῖον A 5, B 1. — [47] θαυματουργεῖ *add.* A 3. — [48] (πλὴν-μαρτύριον) *et capita* 2-7 *om.* A 3.

**2.** — [1] (μ. δ.) καὶ οὐ μόνον B 1. — [2] (οὐ μόνον) *om.* B 1. — [3] καθ' *add.* B 1. — [4] τὸν B 1. — [5] δόγματα A 5. — [6] τῇ ησίσῃ ? A 5. — [7] ἐκ τὰς *add.* B 1. — [8] ἀγνωμονεῖν A 1. — [9] (β. π.) *om.* A 1. — [10] ανισα A 5; κνίσαι B 1. — [11] προσβάλλοντα A 3. — [12] ἀπὸ B 1. — [13] ἀγνωμονούμενον A 5, B 1. — [14] τούτῳ τῷ B 1. — [15] τοῖς A 5. — [16] *om.* B 1. — [17] εἰστρατιωτικὴν A 5. — [18] ἑαυτῷ B 1. — [19] πολλῶν A 1, πολὺ A 5, B 1. — [20] τὴν ἀόρατον *add.* A 5, B 1. — [21] ταύτην B 1. — [22] (ὃ καὶ) *om.* A 5, B 1. — [23] (εὔδηλον - συνομ.) καὶ τὸ ἅγιον πνεῦμα A 5, B 1. — [24] πρὸς τὸ A 5, B 1. — [25] τοῖς A 5, B 1. — [26] (ὥσπερ εἰ) ὥσπερ A 5; ὡς B 1. — [27] καὶ ἐκείνῳ A 5; ἐκεῖνο B 1. — [28] προσέφερεν B 1. — [29] ἄρα οὖν A 5; ἄρ' B 1. — [30] καὶ *add.* A 5, B 1. — [31] *om.* A 1. — [32] καὶ *add.* A 5. — [33] (τοῦτον) τὸν A 5, B 1. — [34] ἐδημιούργησεν A 5, B 1. — [35] ταῖς A 5; τοῖς B 1. — [36] ἀνδραγαθήσας B 1. — [37] (δὲ καὶ) *om.* B 1; (καὶ) *om.* A 5. — [38] τί δὲ B 1.

**3.** — [1] *om.* B 1. — [2] τοὺς *add.* B 1. — [3] (ἀλλὰ - αἰκισμοῖς) *om.* B 1. — [4] ἰδέαις βασάνων *add.* B 1. — [5] A 1, 5; θανάτου κρίσιν B 1. — [6] ἡσυχίαν A 5, B 1. — [7] ἔργουν A 5. — [8] προήγαγε B 1. — [9] *om.* A 5, B 1. — [10] οὗπερ ἐσέβοντο B 1. — [11] πυρὶ A 5, B 1. — [12] μόνος τὸ πῦρ ἐξανάψας A 5, B 1. — [13] ὑπερεσέβοντο A 5. — [14] *om.* B 1. — [15] ἀπεικὼς A 5. — [16] παρ' *add.* B 1. — [17] δικαστῇ προῆγε B 1; δικ. προσήγαγεν A 5. — [18] *om.* A 5, B 1. — [19] εὐθαιρέτως A 1. — [20] συμπαρρησίᾳ A 1. — [21] βοῶντες μὲν A 5. — [22] *om.* A 5, B 1. — [23] τὸ A 5, B 1. — [24] σεμνύναμαι ταῦτον A 5. — [25] ὑμῶν A 1; αὐτοῖς A 5, B 1. — [26] (μηδὲ - πυρὸς) μὴ δύνασθαι ἑαυτὴν τοῦ πυρὸς ῥυσθῆναι B 1. — [27] (ἐκ. τ.) *om.* B 1. — [28] *om.* B 1. — [29] ἐγίνετο B 1. — [30] *om.* A 1, 5, B 1. — [31] *om.* A 5, B 1. — [32] προῆγε *add.* B 1. — [33] τὸ *add.* A 5, B 1.

(1) Chrysippum Passione *BHG.* 1761 usum esse superius dictum est. Comm. praev. n. 28. — (2) Rhetorum vestigiis insistens Chrysippus nulla profert hominum nomina. Praeses ille in Passione, c. 2, Posidonius nuncupatur. Supra, p. 31.

τῆς

UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN

A τῆς [34] πίστεως οὐχ ἅπερ [35] ἔπασχεν οὐδὲ ἅπερ πάσχειν ἔμελλεν. Αὐτίκα γοῦν [36] καὶ δεσμοῖς τοῖς [37] ἐπὶ τῆς εἱρκτῆς [38] καὶ λιμῷ [39] πικροτάτῳ παραδοθεὶς τοῦ δικαστοῦ μόνον ἐναποκλείειν αὐτὸν [40] προστάξαντος, ὅπως ἂν μηδαμόθεν αὐτῷ πορισθείη [41] τροφή, πρὸς οὐδὲν τούτων πάλιν οὔτε [42] ἀπηγόρευσεν [43] οὔτε ὑπέκλινεν.

*In carcere* 4. Τότε συνέβη καὶ παραπλήσιόν τι τῷ πάλαι συμβάντι περὶ τὸν Παῦλον θαυματουργήματι, τάχα δὲ οὐ παραπλήσιον [1] ἀλλὰ καὶ θαυμαστότερον. Ἐκείνου μὲν γάρ ποτε [2] συνδεσμώτην
Act. 16, 24-33. τὸν Σίλαν [3] ἔχοντος καὶ συνεργάτην τῶν προσευχῶν, ὅλον ὑπὸ σεισμοῦ διεσαλεύθη [4] τὸ δεσμωτήριον [5], ἀλλὰ καὶ τοῖς ἔνδον [6] ἅπασι τὰ δεσμὰ δι' ἀπορρήτου τινὸς διερράγη [7] δυνάμεως· ἐφ' οἷς καὶ ὁ δεσμοφύλαξ καθ' ἑαυτοῦ τὸ ξίφος ἐπανελόμενος, διὰ τοῦ ξίφους [8] τὴν ἀπὸ τοῦ βαπτίσματος σωτηρίαν ἐκέρδανεν. Παραπλήσια δὲ καὶ ἔτι θαυμασιώτερα τὰ τοῦ μάρτυρος· διανυκτερεύοντι γὰρ ἐν δεσμοῖς καὶ τούτῳ [9] πρῶτον μὲν [10] αὐτὸς
B ἐμφανῶς προσομιλήσας ὁ Κύριος, θαρρεῖν μὲν [11] παρεγγυᾷ καὶ ἀντὶ φθαρτῆς βρώσεως προσδοκᾶν [12] ἕξειν [13] τὴν ἄφθαρτον· εἶτα τὸ ἐπὶ [14] τούτῳ τι δὲ καὶ ἄλλο συνέδραμεν. Ψάλλοντι μόνῳ τῷ μάρτυρι κραυγή τις δημοτικὴ συνεξεφώνει τὰ ᾄσματα. Τοῦτο διαταράττει τοὺς φύλακας, τοῦτο ποιεῖ προσδραμεῖν τῇ θύρᾳ καὶ ποῖά [15] τινα τὰ ἔνδον περιεργάσασθαι· πιστοῦ-
*visione mirabili* ται τοίνυν καὶ ἡ ὄψις τὴν ἀκοήν. Καὶ εἶδον μὲν πολὺν δῆμον περὶ αὐτόν, εἶδον δὲ [16] δῆμον ἀγγελικόν· τὴν γὰρ τῶν ὁρωμένων παρῆν ἀξίαν τεκμήρασθαι καὶ ἐκ τῆς τῶν ἐσθημάτων φαιδρότητος· πλὴν ἀλλὰ γὰρ καὶ τούτων ἐξαγγελθέντων τῷ δυσσεβεῖ τῷ τῆς ἀπιστίας τυφλώττοντι νέφει [17], μετὰ πολλῶν μὲν αὐτομολεῖ τῶν [18] δορυφόρων ἐπὶ τὸ δεσμωτήριον· τὰ περὶ κύκλῳ δὲ παραδοὺς τοῖς ἄλλοις τῆς φυλακῆς, αὐτὸς τοῖς [19] ἔνδον ἐφίστατο· καὶ μηδένα εὑρὼν πλὴν τὸν μάρτυρα δεδεμένον, τὸν αὐτὸν μὲν [20] ἐφοβήθη φόβον τῷ δεσμοφύλακι, τὴν δὲ αὐτὴν ὁδὸν ἐκείνῳ [21] τῆς σωτηρίας οὐκ ἔδραμεν.
C Οὐ γὰρ προσέπεσε καὶ αὐτὸς ἐπὶ τοὺς τούτου πόδας [22], ὥσπερ ἐκεῖνος ἐποίησεν, οὐδὲ εἶπεν·
Act. 16, 30. «Κύριε, τί με δεῖ ποιεῖν ἵνα σωθῶ;» πάντως γὰρ τὰ αὐτὰ ἂν καὶ ἤκουσεν ὅτι· «πίστευσον ἐπὶ τὸν κύριον Ἰησοῦν Χριστὸν καὶ σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός σου.» Ταῦτα γὰρ ἦν τὰ πάλαι πεποιηκότα τὸν δεσμοφύλακα τοῦ φωτὸς υἱόν [23].
Ἀλλ' οὐ γὰρ οὕτω κἀκεῖνος [24] ὁ δυσσεβής· ἐκ LAUDATIO AUCT. CHRYSIPPO
δὲ [25] τοῦ σκότους, ἐπὶ [26] τὸ σκότος ἐπανελθὼν τῶν αὐτῶν βουλευμάτων ἀντείχετο, τοσοῦτον μόνον *custos obduratur.*
ἐπικαμφθεὶς ὅσον οὐγκίαν [27] ἄρτου καὶ κρᾶσιν (1) ὕδατος χορηγεῖν [28] ἐπιτρέψαι [29] τῷ μάρτυρι, δι' ὧν προσεδόκα πάλιν ἧττον οὐδὲν αὐτῷ [30] προξενήσειν [31] τὸν θάνατον οὐ μὴν ἀλλὰ καὶ ἐνταῦθα τῇ τῆς ἐγκρατείας ὁ μάρτυς ὑπερβολῇ τὴν τοῦ παρανόμου τέχνην ἐνίκησεν· οὐδὲ [32] γὰρ [33] τῶν διδομένων [34] προσιέμενος κἂν [35] μέχρι τῆς γεύσεως, ἀλλ' εἰπὼν [36] ἐξαρκεῖν αὐτῷ τὴν χορηγίαν τὴν ἐκ Χριστοῦ, οὕτω διεκαρτέρει. Τοιοῦτον [37] τῷ ἀηττήτῳ τούτῳ καὶ τὸ δεύτερον πάλιν ἀγωνιστήριον.

5. Φέρε δή, φέρε κατανοήσατε, ποῖον δὴ [1] *Martyr promissa spernit;*
καὶ τὸ τρίτον τοῦ [2] αὐτοῦ στάδιον. Ὁ μὲν γὰρ τοῦ νοητοῦ δράκοντος μιμητὴς ἐκεῖνος (2) εἰς εὐμενείας μεταστὰς [3] πρόσχημα [4] παρῄνει δῆθεν καὶ συνεβούλευεν [5] προελέσθαι [6] τὰ συμφορώτερα [7], τάξιν ἀρχιερέως καὶ περιφανείας [8] E
ἄλλας τε [9] αὐτῷ τιμὰς μεγίστας [10] παρὰ τῶν βασιλέων ἐπαγγελλόμενος [11]· ὁ δὲ πρὶν αὐτὸν [10] τὸν ὑπὲρ τούτων [12] ἐκπληρῶσαι λόγον, τὸ τῆς σφραγίδος τοῦ [10] Χριστοῦ προανατείνας ὅπλον, ὁμοῦ τὰ τοιαῦτα [13] ἔλεγεν· «Τί, ὦ ἀνόσιε, τῆς ἐξουσίας ἧς ἔχεις ὑπερορῶν εἰς κολακείας ἐμοὶ τῶν βασάνων ἀλγεινοτέρας μεταπηδᾷς; τὸ γὰρ τὴν [14] ἀπὸ τοῦ δεσπότου με [15] τοῦ ἐμοῦ δυσωπεῖν [16] κλῆσιν ἀρνήσασθαι παντοδαπῶν μοι βασάνων ὀδυνηρότερον. Εἰσίν σοι ξίφη· λαβὼν τὸ σῶμα κατάτεμνε· παράδος εἰ βούλει τοῦτο καὶ τῷ πυρί· μέρισον καὶ τοῖς στόμασι [17] τῶν θηρίων.» Ἐντεῦθεν ὤρθουν [18] τὸ *variis torquetur suppliciis;*
ξύλον καὶ τὰς πλευρὰς οἱ δήμιοι προσταχθέντες ἐσπάραττον [19]. Ἀλλὰ τῶν γινομένων μὲν [20] οὐδὲν [21] οὐδέποτε ἐφρόντιζεν ὥσπερ ἐν ἀλλοτρίᾳ σαρκὶ τῶν σιδηρῶν ὀνύχων ἐργαζομένων· ὑπερχαίρων [22] δὲ ὅτι κατηξιώθη δεσποτικοῦ διὰ τοῦ ξύλου μιμήματος, παρὰ [23] τοῦ Δαυῒδ τὰ πρὸς εὐχαριστίαν λαμβάνων ἔψαλλεν· «Εὐλο- Psalm. 33, 1.
γήσω τὸν κύριον ἐν παντὶ καιρῷ.» Μετὰ ταῦτα θαυμαστή τις ἐγένετο καὶ [24] διάλεξις ἐκ F
μὲν τοῦ ξύλου τῷ μάρτυρι, τῷ [25] δυσσεβεῖ ἀπὸ τοῦ βήματος· ὁ μὲν γὰρ ὀνειδίζων αὐτὸν [26] τὰ τοῦ λυτρωτοῦ διεξῄει πάθη, τὰς ἐπὶ τοῦ σταυροῦ ὕβρεις, τὸ τοῦ θανάτου [27] ἄδοξον· ὁ δὲ κατὰ τὸν μέγαν πρωταγωνιστὴν [28] τῶν μαρτύρων Στέφανον, πλήρης πνεύματος ἁγίου τότε Act. 6, 5.

[34] *om.* B 1. — [35] ἃ B 1; αἳ A 5. — [36] χοῦν A 5. — [37] τῆς A 5. — [38] τῇ εἱρκτῇ B 1. — [39] δήμῳ B 1. — [40] αὐτ. ἐναπ. B 1. — [41] πορίσθη A 5. — [42] *om.* A 5, B 1. — [43] ἀπηγόρευεν A 5.

4. — [1] (τάχα - παραπ.) *om.* A 5, B 1. — [2] (μ. γ. π). μ. γ. B 1; γ. μ. A 5. — [3] (σ. τ. Σ.) τὸν Σύλλαν σ. B 1. — [4] ἐσαλεύθη A 5. — [5] (ὅλον - δεσμ.) *om.* B 1. — [6] (ἀλλὰ - ἔνδον) ὅλα τοῖς ἐν A 5, B 1. — [7] ἐξερράγη A 5, B 1. — [8] ξίφοις A 5. — [9] ταύτων A 5. — [10] γὰρ *add.* B 1. — [11] τε B 1. — [12] προσδόξαν A 5. — [13] ἐξῄει B 1. — [14] τί ἐπὶ A 5, B 1. — [15] (προσδρ. - καὶ ποῖα) *om.* B 1. — [16] *om.* A 5. — [17] νέφος A 5. — [18] *om.* A 5, B 1. — [19] *om.* A 5. — [20] *om.* B 1. — [21] *om.* A 5, B 1. — [22] (ἐπὶ - πόδας) *om.* A 5, B 1. — [23] (πάντως - υἱόν) *om.* A 5, B 1. — [24] (οὐ - κἀκεῖνος) οὗτος A 5, B 1. — [25] *om.* A 5, B 1. — [26] εἰς B 1. — [27] ὀγκίαν A 5, B 1. — [28] χορηγήσειν B 1. — [29] ἐπιτρέψας A 5. — [30] οὐδὲν ἧττον αὐτῷ A 5, B 1. — [31] προξενίσειεν A 5. — [32] οὐδὲν A 5. — [33] *om.* A 5, B 1. — [34] δεδομένων τι A 5, B 1. — [35] οὐδὲ A 5; προιέμενος οὐδὲ B 1. — [36] εἶπεν B 1; εἰπεῖν A 5. — [37] (οὕτω - τοιοῦτον) τοιοῦτο A 5.

5. — [1] τι A 5, B 1. — [2] τὸ B 1. — [3] τας *add.* A 5. — [4] πρόσσχημα A 1. — [5] συνεβούλευσεν B 1. — [6] *om.* B 1. — [7] συμφερώτερα A 1; συμφέροντα B 1. — [8] περιφανεῖς A 5, B 1. — [9] *om.* A 5, B 1. — [10] *om.* A 5, B 1. — [11] ἐπαγγειλάμενος A 5, B 1. — [12] αὐτὸν *add.* A 5, B 1. — [13] καὶ *add.* A 5, B 1. — [14] *om.* B 1. — [15] *om.* A 5. — [16] τὴν *add.* B 1. — [17] τοιστόμασιν A 5. — [18] ὄρθουν A 5, B 1. — [19] ἔπληττον B 1. — [20] *om.* B 1. — [21] οὐδενὸς *add.* A 5. — [22] ὑπερέχαιρε B 1. — [23] καὶ τὰ B 1. — [24] *om.* B 1. — [25] δὲ A 5, B 1. — [26] αὐτῷ B 1. — [27] τοῦ θ. τὸ B 1. — [28] προπάτορα A 5, B 1.

(1) *Κρᾶσιν* scripsimus, codices non pauci *κρασίν* habent. Cf. SOPHOCLES, i. v. *κρᾶσις*. Hoc loco non ut solet de vini et aquae admixtione sed de potu seu etiam poculo dicitur. — (2) Draconem a S. Theodoro necatum hic nullo pacto significari recte vidit A. SIGALAS, *Des Chrysippos von Jerusalem Enkomion*, p. 85.

LAUDATIO AUCT. CHRYSIPPO

δὴ πολλῷ [29] μᾶλλον γενόμενος [30] μετὰ τῶν κρουνῶν [31] τοῦ αἵματος καὶ κρουνοὺς λόγων [32] ἀντεφιλοτιμεῖτο πρὸς τὸν ἀνόσιον [33], οἷς ἐπωνείδιζε σεμνυνόμενος, οἷς ἐβλασφήμει καλλωπιζόμενος, δημηγορῶν ὅσα τῷ ἀνθρωπίνῳ γένει τὰ ἀγαθὰ διὰ τῶν ὑβρισμάτων τῶν κατὰ τὸν σταυρόν [34], πρὸς τούτοις υἱὸν διαβόλου καλῶν αὐτόν · « Τίνος γάρ, » ἔλεγεν, « τίνος ἄλλου πλὴν τοῦ πατέρα ἐκεῖνον [35] ἔχοντος [36] μὴ ἐπιγνώσκειν, τίς μὲν ὁ βασιλεῦσι διδοὺς τὸ κράτος [37], τίς δὲ ὁ [38] ἄρχουσι τὰς ἀρχάς, τίς ὁ καὶ αὐτῷ παρασχὼν τὴν ἐξουσίαν [39] ; Τίνος » ἔλεγεν « ἄλλου πλὴν τοῦ πατέρα τὸν αὐτὸν ἔχοντος καὶ τὸ ἐπαναγκάζειν ἀντὶ τοῦ ποιητοῦ σέβεσθαι τὰ ποιήματα καὶ ἀντὶ τοῦ ὄντως Θεοῦ λίθους ἀποκαλεῖν θεοὺς καὶ ξύλα προσκυνεῖν ἄψυχά τε καὶ ἄφωνα [40] ; » Καὶ τί δεῖ πλείω [41] λέγειν ; Ἀπιδὼν [42] γὰρ πρὸς τὴν τοῦ μάρτυρος παρρησίαν, ὁ δυσσεβὴς ἀντειπεῖν [43] συντόμως αὐτὸν ἀπῄτει, πότερον εἶναι βούλεται τῆς τῶν αὐτὰ [44] λατρευόντων αὐτοῖς μερίδος ἢ τῆς μετὰ τοῦ αὐ-
B τῷ [45] προσφιλοῦς Χριστοῦ · τοῦτο γὰρ [46] μόνον ἔτι ἀκούσας, κατέφασκεν [47] ἀμελλητὶ τὴν [48] ψῆφον ἐξαγαγεῖν · πρὸς ταῦτα [49] τρόπον τινὰ σκιρτήσας ὁ μάρτυς ὑφ' ἡδονῆς · « Νῦν, ἔφη, ἐδωρήσω μοι τὸ ποθούμενον, νῦν ἐδωρήσω μοι τὸ μάλιστα [50] σπουδαζόμενον · ἐγὼ μετὰ τοῦ ἐμοῦ εἶναι θέλω [51] ἀεὶ Χριστοῦ, μᾶλλον δὲ μετ' αὐτοῦ καὶ ἤμην καὶ εἰμὶ καὶ ἔσομαι [52] καὶ χωρισθῆναι μηδέπω [53] τῆς αὐτοῦ δεσποτείας ἐπεύχομαι. » Διὰ τοιούτων τῶν τε [54] ἐν λόγοις τῶν τε [54] ἐν ἔργοις ἀγωνισμάτων καὶ τὸ τρίτον τελέσας στάδιον, ὥσπερ στέφανον ἐνδοξότατον ἀπ' αὐτοῦ τὰς τιμωρίας τοῦ δόγματος ἀντεδήσατο συλλαβάς [55]. Τίνες γὰρ δὴ καὶ ἐκεῖναι [56], τίνες ; « Τοῖς βασιλεῦσί φησιν μὴ πειθαρχήσας [57] Θεόδωρος (τοῖς βασιλεῦσι [58] τοῖς ἐπὶ γῆς τε καὶ ἀπὸ γῆς [59] καὶ εἰς γῆν πάλιν ἐπαναλύουσιν, τοῖς πρόσκαιρα κεκτημένοις πάντα καὶ παρερχόμενα), πιστεύσας [60] δὲ Ἰησοῦ Χριστῷ τῷ σταυρωθέντι ἐπὶ Ποντίου Πιλάτου (τοῦτ' ἔστιν τῷ βασιλεῖ μὲν τῷ οὐρανίῳ καὶ αἰωνίῳ, διὰ δὲ τὴν τοῦ γένους ἡμῶν κατά-
C κρισιν ὑπομεῖναι καταξιώσαντι καὶ τὴν κατάκρισιν τοῦ σταυροῦ), τούτῳ καὶ οὐκ ἐκεί-
D νοις φησὶν πεισθεὶς [61] θανάτῳ παραδιδόσθω τῷ διὰ τῆς πυρᾶς [62]. » Ἆρα οὐ [63] ταῦτα λαμπρότερα καὶ στεφάνου πολυφεγγέσι [64] λίθοις ἀστράπτοντος ; ἆρα οὐ [65] ταῦτα καὶ [66] βασιλικοῦ διαδήματος τιμιώτερα [67] ;

*damnatus*

*ad mortem ducitur ;*

**6.** Μετὰ δὲ [1] τοιούτων καλλωπισμάτων παραπεμφθεὶς ἐπὶ τὸν τῆς καταδίκης τόπον θέαμα καὶ ἐκεῖ παρεῖχεν θαυμασιώτατον, περιχαρεῖ τῷ προσώπῳ [2] πρὸς τὴν πυρὰν [3] οὐχ ὡς πρὸς [4] πυρὰν μᾶλλον ἢ [5] βαλανεῖον ἐρχόμενος, αὐτὸς ἑκουσίως [6] δι' ἑαυτοῦ [7] τὴν ἐσθῆτα ἀποδυσάμενος [8], αὐτὸς λύων [9] τὰ ὑποδήματα, εἶτα παραδιδοὺς [10] τὰς χεῖρας τοῖς περισφίγγουσιν ἐκ τῶν ὄπισθεν [11] · ἔδει καὶ προσηλῶσθαι τὸν μέλλοντα τῇ πυρᾷ μέχρι τέλους προσκαρτερεῖν [12]. Ὁ δὲ αὐθαίρετον [13] καὶ τοῦτο πράττειν ἐπαγγειλάμενος περιττὴν [14] ἔδειξεν τὴν τῶν ἥλων [15] χρείαν. Τούτου δὲ ἔτι θαυμασιώτερα πάλιν καὶ τὰ ἑξῆς. Τὰ γὰρ τοῦ σωτηρίου πάθους ἐν οἷς ἐχώρει μεταδιώκων χαρακτηρίσματα [16], γίνεται μέν τις ἑαυτοῦ θυσίαν [17] καὶ ἱερεὺς καὶ [18] E
δι' ὧν ἀπεφθέγγετο [19] προσευχῶν · πράττει δέ τι καὶ ἕτερον τῶν ἐκεῖ τότε παρόμοιον κατόρθωμα. Ποῖον δὴ τοῦτο, λέγω [20] ; τὸν λῃστὴν ὁ Σωτὴρ ἀπὸ τοῦ σταυροῦ συνοδοιπόρον λαμβάνει πρὸς τὸν παράδεισον · ἀλλὰ [21] καὶ οὗτος τὸν τῆς στρατείας μάλιστα κοινωνὸν (1) αὐτῷ διὰ τῶν ἐξ αὐτῆς παρακλήσεων τῆς πυρᾶς [22] ἐφειλκύσατο κοινωνῆσαι καὶ τῆς ὁδοῦ τῆς εἰς αὐτὸν ἀγούσης τὸν οὐρανόν [23]. Ὅθεν μικρός τις [24] ἐν μέσῳ χρόνος, καὶ ἦν ἔργον [25] τὰ ῥήματα καὶ τῷ [26] μάρτυρι μάρτυς ὁ κεκλημένος ἐπηκολούθησεν · τοιοῦτον αὐτῷ καὶ ἡ πυρὰ καρπὸν ὥσπερ τὰ εὐθαλῆ τῶν δένδρων ἐβλάστησεν [27].

*a pia muliere sepelitur.*

**7.** Ὦ μακαρίων μὲν τῶν καταξιωθέντων [1] ὄμμασι καθαροῖς ἰδεῖν ἐκείνην τὴν ὁλοκαύτωσιν · ἰδεῖν γὰρ λέγονται καὶ αὐτοὶ διὰ τοῦ πυρὸς θείας ἐπιστασίας ἐνέργειαν [2] · μακαριστικωτάτη δέ [3], ἥτις ἀντὶ πλούτου πολλοῦ [4] χρημάτων [5] ἁγίων ὀστῶν κτησαμένη (2) πλοῦτον [6] ἢ τὸν μὲν ἵνα ἐκδυσωπήσῃ τοὺς ἀνοσίους ἐσκόρπισεν, τὸν δὲ [7] εἰς τὸν ἑαυτῆς [8] οἶκον ἀντεθησαύρισεν [9], εὐσεβὴς καὶ τὴν ἐπωνυμίαν [10] καὶ τὴν προαίρε- F

[29] (τότε - πολλῷ) *om.* A 5, B 1. — [30] γινόμενος A 5, B 1. — [31] κρονῶν A 5. — [32] διὰ τοῦ στόματος *add.* A 5, B 1; — [33] (τὸν ἀνόσιον) τὴν ἄνω Σιὼν B 1. — [34] ἐπήγασε *add.* A 5, B 1. — [35] τοῦτον A 5, B 1. — [36] τὸ *add.* A 5, B 1. — [37] (δ. τ. κ.) *om.* B 1. — [38] *om.* A 5, B 1. — [39] τὴν ἐν χερσὶν *add.* A 5, B 1. — [40] (ἀποκ. - ἄφωνα) καὶ ξ. ἀποκ. θεοὺς A 5, B 1. — [41] πλέον A 5, B 1. — [42] ἀπειπὼν A 5, B 1. — [43] ὁ δ. π. τ. τ. μάρτ. παρρ. εἰπεῖν (εἶπε B 1) A 5, B 1. — [44] ταῦτα A 5, B 1. — [45] A 5; αὐτοῦ A 1, B 1. — [46] προσφιλεστάτου Χ. τοῦτο ἔτι A 5, B 1. — [47] ἔφασκε A 5, B 1. — [48] ἀμελλητικὴν A 1. — [49] (ἀμ. - ταῦτα) *om.* A 5, B 1. — [50] (σκιρτ. - μάλιστα) καὶ σκιρτήσας ὑφ. ἡδ. ὁ μ. νῦν ἐδωρήσω μοι A 5, B 1. — [51] θ. εἶναι B 1. — [52] (κ. ἔσ.) *om.* A 5, B 1. — [53] οὐδέποτε A 5, B 1. — [54] *om.* B 1. — [55] (ὥσπερ - σύλλαβας) τὰς ἀποφάσεις λοιπὸν (*om.* A 5) παρὰ τοῦ τυράννου (λοιπὸν A 5) τὰς ὠμὰς ἐδέχετο A 5, B 1. — [56] κἀκεῖναι A 5. — [57] μ. π. φ. A 5, B 1. — [58] ποίοις *add.* A 5, B 1. — [59] ἀπὸ γ. καὶ ἐπὶ γ. A 5, B 1. — [60] πεισθεὶς A 5, B 1. — [61] (τοῦτ' ἐστιν - πεισθεὶς) *om.* A 5, B 1. — [62] (τ. π.) πυρὸς A 5, B 1. — [63] A 5, B 1; οὐρανοῦ A 1. — [64] B 1; πολυφθεγγέσι A 1, 5. — [65] *om.* A 5. — [66] *om.* B 1. — [67] τιμ. διαδ. A 5, B 1.

**6.** — [1] *om.* A 5, B 1. — [2] περιχαρὲς τὸ πρόσωπον B 1. — [3] (π. τ. π.) *om.* A 5, B 1. — [4] (ὡς π.) ἐπὶ A 5, B 1. — [5] (μ. ἢ) ἀλλ' ὡς εἰς A 5, B 1. — [6] ἑκ. αὐτὸς A 5, B 1. — [7] τὴν ἑαυτοῦ A 5; *om.* B 1. — [8] ἀποδυόμενος A 5. — [9] καὶ *add.* A 5, B 1. — [10] (εἶτ. π.) παρεδίδου B 1; παρεδίδει A 5. — [11] ἐκ τῶν ὄπ. τ. π. A 5, B 1. — [12] καρτερεῖν A 5. — [13] αὐθαίρετος B 1; αὐθαιρέτως A 5. — [14] περὶ τὴν πίστιν B 1. — [15] ὅλων A 5. — [16] (τούτου - χαρακτ.) *om.* A 5, B 1. — [17] γ. οὖν τῆς ἑαυτοῦ θυσίας A 5, B 1. — [18] *om.* A 5, B 1. — [19] ἀνεφθέγγετο A 5. — [20] (τῶν - λέγω) κατόρθωμα A 5, B 1. — [21] (συνοδ. - ἀλλὰ) ἐπὶ τὸν παρ. λ. σ. (σ. λ. A 5) A 5, B 1. — [22] (μάλιστα - πυρᾶς) αὐτοῦ κοιν. διὰ παραινέσεως τῆς ἐπὶ τὴν πυρὰν A 5, B 1. — [23] (κοιν. - οὐρανόν) κοινωνίας καὶ τῆς εἰς οὐρ. ἀπαγούσης ὁδοῦ A 5, B 1. — [24] *om.* A 5, B 1. — [25] ἐνεργῶς B 1; ἐν-έργω A 5. — [26] ῥ. ἐπληροῦτο τοῦ μάρτυρος τῷ γὰρ A 5, B 1. — [27] (καὶ - ἐβλάστ.) καρπὸν ἡ πυρὰ προσεκόμισε A 5, B 1.

**7.** — [1] μακάριοι μὲν οἱ καταξιωθέντες A 5, B 1. — [2] (ἰδεῖν - ἐνέργ.) *om.* A 5, B 1. — [3] μακαριωτάτη δὲ πάλιν A 5, B 1. — [4] (ἀ. π. π.) *om.* B 1. — [5] χρήματα A 5. — [6] (ἁγ. - πλοῦτον) ἐκτήσατο ἐκ τῶν ἁγίων ἐκείνων ὀστῶν (ὀ. ἐ. A 5) τὰ (*om.* A 5) λείψανα A 5, B 1. — [7] (ἢ - τὸν δὲ) σκορπίσασα τοῖς παραφύλαξι χρήματα ἱκανὰ ἵνα ἀντιθησαυρίσῃ B 1. — [8] ἑαυτοῦ A 5. — [9] εἰς τὸν ἑαυτῆς οἶκον πλοῦτον ἀνέκλειπτον B 1. — [10] προσονυμίαν B 1.

(1) Cleonico illi nomen est in Passione c. 8, supra p. 38. — (2) Eusebiam sancti martyris corpus pecunia coemisse in Passionis c. 9, supra p. 39, non narratur.

-σιν

Marc.16,1: σιν, μετὰ Μαρίας ἀξία τάττεσθαι, μετὰ Σαλώμης καταριθμεῖσθαι[11] παρ' ἐκείνων τὰ μύρα τῷ ζωοδόχῳ[12] τάφῳ[13], παρ' αὐτῆς δ' αὐτὸς[14] ὁ οἶκος τάφος ἀπεκληρώθη τῷ μάρτυρι· παρὰ ταύτης τὸ αὐτὸ δῶρον ἀπενεμήθη καὶ ὕστερον τῆς πρωτοτύπου παστάδος τε καὶ αὐλῆς ὁ τόπος (1)· ἀνθ' ἑαυτῆς[15] γὰρ τοῦ παντὸς χωρίου κτήτορα τὸν γενναῖον τοῦτον καὶ προστάτην[16] ἐγκατεστήσατο δι' ὧν[17] τιμῶνται[18] μάρτυρες, τιμᾶται δὲ[19] μάλιστα καὶ Χριστὸς[20] ὁ τοῖς
Matth. 10, 32. μάρτυσι καὶ αὐτὸς μάρτυς γενόμενος[21]. «Πᾶς γάρ, φησίν, ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ[22] ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς[23].»

*Miracula* 8. Τοιαῦτα μὲν τὰ ἐν τοῖς ἀγωνίσμασι τοῖς[1] κατὰ τὸ μαρτύριον. Νυνὶ δὲ[2] μετενεκτέον λοιπὸν[3] τὸν λόγον καὶ[3] εἰς τὴν τῶν αὐτοῦ[4] θαυματουργημάτων μνήμην· τοῦτο γὰρ τοῦτο καὶ ἐμφανέστατα βεβαιοῖ τὸν[5] τῶν ἁγίων ἁπάντων[6] θάνατον μὴ θάνατον εἶναι μᾶλλον[7] ἀλλὰ
B μετάστασιν ζωῆς[8] τῆς ἐνθάδε <εἰς[9]> πολὺ[10] βελτίονα. Μαρτυρεῖ δὲ καὶ ὁ σοφὸς Δαυῒδ
Psalm. 115, 6. ψάλλων περὶ αὐτῶν[11] ὅτι[12]· «τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.» Πῶς γὰρ ἂν[13] ὑπῆρχεν[14] τίμιος, εἰ μὴ μετέσχεν[15] τῆς ἀληθοῦς ζωῆς; Ἐμοὶ μὲν γὰρ πάντων[16] μνημονεῦσαι τῶν κατὰ τὴν προκειμένην ὑπόθεσιν τοῦ ἁγίου ἀθλοφόρου καὶ μάρτυρος Χριστοῦ Θεοδώρου θαυμάτων οὔτε[17] ἐπιτρέψειεν[18] λόγος[19] οὔτε ἐξισχύσειεν ἂν[20] ὁ χρόνος[21]· ὅσα δὲ σύμμετρον[22] παραστήσειεν ἂν ἀπόδειξιν καὶ[23] τῆς ἐνεργούσης διὰ[24] τοῦ ὑμνουμένου δυνάμεως, ταῦτα εἰς τὸ παρὸν ἐρῶ[25]· μικρὰ δὲ ἄρα προσειπεῖν ὑμῖν[26] καιρὸς[27] περὶ τῆς προρρηθείσης[28] τοῦ μάρτυρος ἱερᾶς αὐλῆς, ἣν[29] ἀντὶ κοινοῦ προτειχίσματος, ἀντὶ κοινοῦ λιμένος[30] πάντα τὰ ἔθνη τὰ κατὰ τὸν Πόντον
*in Ponto,* ἀποκεκλήρωται[31], Πόντον δὲ[32] λέγω τόν ποτε ἄξενον[33], νῦν δὲ λίαν[34] φιλόξενον (2) διὰ τὸ πᾶσι προτείνειν[35] χεῖρα τὸν μάρτυρα τοῖς πανταχόθεν προστρέχουσιν. Ἐκείνῃ τοίνυν ὡς καὶ τῶν μακαρίων αὐτοῦ λειψάνων ὅλον λαχούσῃ[36] τὸν θησαυρόν, πλεονεκτεῖν[37] εἰκότως καὶ
C
τῇ[38] τῶν σεμνολογημάτων φιλοτιμίᾳ[39] περίεστιν, ἐν ᾗ[40] πρῶτον ἓν[41] θαῦμα μέγιστον ἐπράχθη, ἡ ἐξ αὐτῆς τῶν δαιμόνων μετοίκησις· ἦν μὲν γὰρ πρότερον[42] τὸ χωρίον πνευμάτων πολυειδῶν μεστόν (3), κατὰ τὴν Ἡσαΐου φωνήν, ἐχινῶν[43] ἐννοσσευόντων, ὀνοκενταύρων ἀσμενιζόντων τὴν ἐπ' ἐκείνου[44] διατριβήν, ἄλλων[45] πολλῶν τοιούτων, οἷς ὁ προφήτης τὰς πονηρίας[46] τῶν δαιμόνων παρείκασεν[47]. LAUDATIO AUCT. CHRYSIPPO Isa. 59, 5.

9. Ἐπειδὴ δὲ εἰς τὴν τοῦ μαρτυρίου τελείωσιν ὁ γενναῖος οὗτος ἀγόμενος μίαν ἐν αὐτῷ νύκτα διεκαρτέρησεν, τῆς ὥρας ἀναγκασάσης τοὺς ἄγοντας τοῦτον[1], εὐθὺς ἤρκεσε τῷ χωρίῳ[2] πρὸς καθαρισμόν, καὶ ἀφορμὴν ἔδωκε ταύτην[3] εἰς τὸ μετὰ ταῦτα[4] παστάδα[5] δέξασθαι· διὸ καὶ ἅμα τις προσεγγίσει[6] τοῖς τῆς παστάδος ἐκείνης σοροῖς[7] τῶν πνεύματι φαύλῳ[8] συνεχομένων, παραχρῆμα τὸ πνεῦμα πολλῇ σπουδῇ δραπετεῦον ἀφίπταται[9] πάντως, ἐπειδὴ μάστιξι χαλεπαῖς αὐτὰ διὰ τῶν προσευχῶν τότε[10] ὁ μάρτυς ἐξήλασεν, ὥστε καὶ νῦν αὐτοῖς τὴν τοῦ τόπου[11] θέαν πόρρωθεν ἔτι προβάλλεσθαι[12] E
τὴν τῶν οἰκείων κακῶν ἀνάμνησιν. Ἀλλὰ τίς ἐξαγγεῖλαι ἱκανὸς[13] καὶ τὰ ἐν παντοδαποῖς νοσήμασιν ἐπ' ἐκείνης[14] ἰάματα, τὰς ἐν ἁπάσαις[15] τῶν[16] πάντων θλίψεσιν ἀντιλήψεις, τὰς ὀπτασίας τάς τε νυκτερινὰς καὶ μεθημερινάς[17], ἐν αἷς μετὰ ὁπλιτικῆς καθορᾶται ἀεὶ σκευῆς, οὐκ ἀπαξιῶν τὸ στρατιωτικὸν πρόσχημα[18] οὐδὲ νῦν, εἰ καὶ τοῖς κληρονόμοις τῆς τῶν οὐρανῶν βασιλείας[19] ἐγγέγραπται; Τίς δέ, τίς ἂν τοὺς ἐπιδημίους[20] ἐξαριθμήσειεν, τούς τε ἐκεῖσε ἐφισταμένους διηνεκῶς[21] τούς τε ἐκεῖθεν ἐπαναστρέφοντας, τοὺς[22] ὑπὲρ ὧν χρῄζουσι τὰς ἱκετηρίας προσάγοντας, τοὺς ὑπὲρ ὧν[23] εὖ πάσχουσιν[24] εὐγνωμονοῦντας τὰς ἀμοιβάς· ἐφ' ὧν καὶ ἐκεῖνο πληροῦται τὸ ψαλτικόν[25]· «πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσι δῶρα.» Τοσαῦτα οὖν[26] περὶ τῆς πρωτευούσης κατὰ τὸν χρόνον εἰπὼν παστάδος[27], ἐντεῦθεν καὶ τῶν[28] κατὰ μέρος ἁπανταχοῦ τεθαυματουργημένων τῷ μάρτυρι[29] τὰ ἐξαρκοῦντα καθάπερ ἔφην πρὸς τὸ τοῦ λόγου μέτρον[30] ἐπιλεξάμενος, τούτων[31] παρέξομαι τὴν διήγησιν ἑκάστοις τῶν ἀκουόντων. Ὅθεν οὖν F

*ubi eius basilica est,* — *cotidie operatur,* — Psalm. 75, 11. — *etiam variis in locis.*

[11] ἀξία κατ. μετὰ Σωσάννης ἐπονομάζεσθαι 5 A, B 1. — [12] ζωοτόκω A 5, B 1. — [13] προσεφέροντο *add.* B 1. — [14] παρὰ ταύτης αὐτὸς A 5, B 1. — [15] αὐτῆς A 5, B 1. — [16] γ. πρ. τοῦτον A 5, B 1. — [17] δὴ *add.* B 1; δὲ *add.* A 5. — [18] οἱ *add.* A 5, B 1. — [19] *om.* A 5. — [20] μάλιστα X. ὁ πᾶσαν μαρτυρικὴν θυσίαν δεχόμενος *add.* A 5, B 1; τιμᾶται δὲ μάλιστα X. *iterum add.* B 1. — [21] (ὁ - γενόμενος) *om.* A 5. — [22] (ἐν αὐτῷ) αὐτὸν B 1. — [23] οὐρανίοις A 5.

8. — [1] τὰ A 5. — [2] *om.* B 1; *hic rursum* A 3. — [3] *om.* A 3. — [4] *om.* A 3, 5, B 1. — [5] τὸ A 5. — [6] *om.* A 3, 5, B 1. — [7] μ. μὴ εἶναι θάν. A 3. — [8] εἰς ζωὴν A 5, B 1. — [9] *om. codd.* — [10] *om.* A 5, B 1 — [11] (π. α.) *om.* A 3. — [12] *om.* A 5, B 1. — [13] *om.* A 3, 5, B 1. — [14] ἂν Θεῷ *add.* A 5. — [15] μετεῖχε A 3, 5, B 1. — [16] (μ. γ. π.) δὲ πάντων μὲν A 3, 5, B 1. — [17] οὐ A 1. — [18] ἐπιτρέψει A 3, 5, B 1; ἂν *add.* A 5. — [19] ὁ λόγος A 3; ὁ χρόνος A 5, B 1. — [20] *om.* A 3, 5, B 1. — [21] λόγος A 5, B 1. — [22] εἰς ἀσύμετρον A 5. — [23] (ἀπ. καὶ) καὶ ἀποδείξει καὶ B 1. — [24] *om.* B 1. — [25] ἐρρῶ A 3. — [26] *om.* A 3, 5, B 1. — [27] καὶ *add.* A 3, 5, B 1. — [28] *om.* A 3. — [29] ᾗ A 3. — [30] κέκτηνται *add.* B 1. — [31] ἀπὸκαικλήρονται A 3. — [32] *om.* A 3; (τὸν - δὲ) τόπον B 1. — [33] εὔξινον A 3; εὔξεινον B 1. — [34] *om.* B 1. — [35] προτεῖνον B 1. — [36] ἐχούσι B 1. — [37] πλέον A 3. — [38] ἡ A 3. — [39] τὴν... φιλοτιμίαν B 1. — [40] ἐνι A 3; εἰς (?) B 1. — [41] μὲν B 1. — [42] πρῶτον B 1. — [43] ἐχιδνῶν A 1, 3, 5, B 1. — [44] ἐκεῖνο A 3. — [45] τε *add.* A 3. — [46] πονηρὰς παροικείας A 3. — [47] (ἄλλων - παρείκασεν) *om.* B 1. -

9. — [1] τοῦτο καὶ A 3, B 1. — [2] τὸ χωρίον A 3. — [3] τοῦ A 3. — [4] τὴν *add.* B 1. — [5] αὐτοῦ περικαλλῆ A 3. — [6] προσεγγίσειεν A 3. — [7] ὅροις A 3; ἐκείνοις ὅροις B 1. — [8] φαύλων B 1. — [9] ἀφήσταται A 3. — [10] *om.* B 1. — [11] A 3, B 1; πόθου A 1. — [12] βάλλεσθαι B 1. — [13] τίς ἂν ἐξήγγειλε B 1. — [14] (ἐπ' ἐκείνης) *om.* E; ἐπεκεῖν B 1. — [15] πάσες A 3. — [16] ταῖς B 1. — [17] ἡμερινὰς E. — [18] σχῆμα E. — [19] β. τ. οὐρ. B 1, E. — [20] δημίους A 1, B 1; δήμους A 3. — [21] *om.* A 3. — [22] τοὺς τρέφοντας τοῖς B 1. — [23] (χρ. - ὧν) *om.* A 5, B 1. — [24] παθοῦσιν A 3. — [25] ψαλμικὸν A 3, 5, B 1. — [26] *om.* A 3. — [27] (τοσαῦτα - παστ.) *om.* A 5, B 1. — [28] τὸ A 5, B 1. — [29] εἰς *add.* A 5, B 1. — [30] (τὰ - μέτρον) *om.* A 3. — [31] *om.* A 3; τούτω B 1; τοῦ των A 5.

(1) Basilica Euchaïtensis est de qua fuse in oratione Nysseniana. Comm. praev. n. 45. — (2) STRABO, *Geogr.* VII, 298: ἄπλουν γὰρ εἶναι τότε τὴν θάλατταν ταύτην καὶ καλεῖσθαι Ἄξενον ... ὕστερον δ' Εὔξεινον κεκλῆσθαι. Cf. PINDARI *Pyth.* IV, 361. — (3) Neque hoc loco ullam de dracone devicto a S. Theodoro mentionem esse notatu dignum est.

γένοιτο

LAUDATIO AUCT. CHRYSIPPO

γένοιτο ἂν ὁ λόγος χαριέστερος, ἐκεῖθεν καὶ λήψομαι τὴν ἀρχήν[32].

*Miraculum I. Pii S. Theodori cultoris*

**10.** Ἀνήρ[1] τις[2] πολλῇ κεχρημένος πίστει[2] περὶ τὸν ἔνδοξον[3] μάρτυρα[4] τοῦ Χριστοῦ Θεόδωρον[5] καὶ κηδεμόνα μὲν πάντων τῶν ἑαυτοῦ τοῦτον ἐπιγραφόμενος, ὡς ὑπὲρ εὐεργέτου[6] δὲ τὰς κατ' ἐνιαυτὸν ἕκαστον αὐτοῦ[7] μνήμας[8] πανηγυρίζων ἀεὶ φαιδρῶς[9], κατὰ δύναμιν τιμῶν[10] ἅμα καὶ ἑστιάσεσιν, τοιούτῳ ποτὲ περιπίπτει[11] δυσπραγήματι[12]. Υἱὸς (1) ὑπῆρχεν αὐτῷ[13] καὶ ὄνος, ὁ μὲν υἱὸς ἔτι μειράκιον, ὁ δὲ ὄνος ταῖς κατὰ τὴν οἰκίαν[14] χρείαις ὑπηρετῶν[15]. Τοῦτόν τις ἐξαιτεῖ τὸν ὄνον ὡς εἰς βραχεῖαν ὁδοιπορίαν[16] μισθώσασθαι καὶ πείσας δὴ τοῦτον[17] πείθει συμπέμψαι μετὰ τοῦ ὄνου καὶ τὸν υἱόν, διὰ ταχέων[18] ἐπανελθεῖν σὺν ἀμφοτέροις ἐπαγγειλάμενος. Ἀλλ' ἐπειδὴ καὶ[19] ἔτυχεν ὧν ἐξήτησεν[20] καὶ ἀπῆρεν πρὸς τὴν[21] ὁδόν, διήρχετο μὲν ἐξ ἔθνους εἰς ἔθνος κατὰ τὸν ψαλμῳδόν. Ὡς δὲ προϊὼν ἦλθεν καὶ εἰς τὸ γένος τοῦ Ἰσμαήλ, μιμεῖται τὴν περὶ τὸν Ἰωσὴφ πονηρὰν πρᾶξιν τῶν ἀδελφῶν· καὶ τοῖς Ἰσμαηλίταις εὐθὺς ἀποδόμενος[22] τὸ μειράκιον[23], αὐτὸς ἐπὶ γῆς ἄλλης μεθίστατο[24]. Παρῆν τοίνυν ἡ ἐτησία[25] μνήμη τοῦ μάρτυρος καὶ ἐν τῇ[26] κατὰ τὸν υἱὸν θρηνῳδίᾳ[27] ὁ ἀνὴρ διατελῶν[28] οὐ προενοεῖτο[29] τῶν περὶ τὴν ἑορτήν[30], οὐ τῶν ἐξ ἔθους οὐδὲν[31] ἐποίει περὶ αὐτήν. Ὑπὲρ ὧν ἐγκαλοῦντι τῷ μάρτυρι[32] τὴν ἀπὸ τοῦ παιδὸς ἀντετίθη[33] πικρὰν πληγήν· προσετίθη δὲ καὶ ἔτι τούτων[34] τραχύτερα[35] λέγων, ὡς μάτην[36] ἄρα διισχυρίζετο τῇ προστασίᾳ[37] τῇ παρ' αὐτοῦ[38], μάτην αὐτὸν ὑπελάμβανε τῶν ἑαυτοῦ[39] πάντων ὀχύρωμα τεῖχός τε καὶ σκέπην καὶ ἀρωγόν.

*filius in servitutem abductus*

Psalm. 105, 41.

Gen. 37, 27.

D

**11.** Μετὰ ταῦτα παρῆν πάλιν[1] καὶ ἑτέρα μνήμη τοῦ ἁγίου[2] (2) καὶ τὰ αὐτὰ[3] μὲν ὁ αὐτὸς[4] ἀνὴρ ἔπραττεν, τὰ αὐτὰ δὲ καὶ ἐγκληθεὶς[5] πάλιν[6] ἀντέλεγεν. Ἐνταῦθά μοι θεωρεῖτε τὴν θαυματοποιΐαν τοῦ μάρτυρος· τὸ μειράκιον τοίνυν[7] ὁ κτησάμενος μετὰ τῶν ἑαυτοῦ ποιμένων ἀνέμιξεν[8]· καὶ σὺν ἐκείνοις[9] ἀπῄει[10] νέμειν κατὰ τὴν ἔρημον. Ἐπιστὰς τοίνυν ὁ μάρτυς αὐτῷ χωρισθέντι[11] τῶν μετ' αὐτοῦ ποιμένων, ἐπιστὰς δὲ[12] ὡς στρατιώτης[13] ἵππων δυάδα ἐπαγόμενος[14], τὸν μὲν ᾧπερ καὶ[15] ἐπεκάθητο[16], τὸν δὲ ἕτερον τοῦ κυβερνῶντος[17] ἐλεύθερον[18], ἐπηρώτα, τίς[19] ἂν εἴη καὶ ἐκ ποίας[20] γῆς· καὶ

*ab ipso sancto*

E

[32] (ἑκάστοις - ἀρχὴν) *om.* A 3, 5, B 1.

**10.** — [1] θαῦμα α' *add.* A 3, 5. — [2] *om.* A 3, 5. — [3] *om.* A 5, B 1. — [4] μεγαλομάρτυρα A 3. — [5] (τ. Χ. Θ.) *om.* A 3, 5, B 1. — [6] εὐγεργέτου A 3. — [7] (ἑαυτοῦ - αὐτοῦ) *om.* B 1. — [8] μνήμας αὐτοῦ A 3. — [9] καὶ τοῖς *add.* A 3; καὶ ταῖς *add.* A 5, B 1. — [10] τιμαῖς B 1. — [11] καὶ αὐτὸς *add.* A 3; καὶ *add.* A 5. — [12] δυσπράγματι περιπίπτει B 1. — [13] τούτω A 5, B 1. — [14] οἶκον A 3. — [15] (ὁ μὲν - ὑπ.) *om.* B 1; (κατὰ - ὑπ.) *om.* A 5; ὑπηρετούμενος A 3. — [16] ὁδὸν εἰς ἐμπορίαν A 3. — [17] τοῦτο B 1. — [18] (πείθει - ταχέων) συμπαρέλαβεν μετὰ τοῦ ὄνου καὶ τὸν υἱὸν ἐπαγγειλάμενος διὰ τάχους μετ' αὐτῶν A 3. — [19] οὖν A 3. — [20] ἐζήτησε B 1. — [21] ἀπῆλθεν ἐπὶ τὴν προκειμένην A 3. — [22] ἀπεδότω A 3; ἀποδιδόμενος A 5, B 1. — [23] καὶ *add.* A 3. — [24] μετοικίσθη A 3. — [25] ἐτήσιος A 5, B 1. — [26] καὶ ἦν ὁ ἀνὴρ τὰ B 1, 2. — [27] ἐνθρήνω B 1. — [28] τελῶν B 2. — [29] καὶ οὐ προενόει B 1, 2; προενόει A 3. — [30] μνήμην A 3. — [31] τί ποτε B 1, 2. — [32] ἐγκαλοῦντος τοῦ μάρτυρος B 1, 2. — [33] ἀντεσθῆτι B 1. — [34] δὲ τούτων καὶ A 3; δὲ ἐπὶ τούτων B 1. — [35] τραχυτέραν B 1. — [36] ἅμα *add.* B 2. — [37] τὴν προστασίαν A 3. — [38] τὴν παρ' αὐτοῦ A 3; βοηθεῖσθαι *add.* B 1, 2. — [39] αὐτοῦ A 3.

**11.** — [1] *om.* B 1, 2. — [2] (τ. ἁ.) *om.* A 3, B 2. — [3] ταῦτα A 3. — [4] *om.* A 3, B 1, 2. — [5] ἐγκλ. τὰ αὐτὰ A 5. — [6] *om.* A 3. — [7] *om.* A 3, 5, B 1, 2. — [8] ἔμηξεν A 3. — [9] αὐτοῖς A 3. — [10] ἀπήτει B 2; νέμειν ἀπ. A 3. — [11] χωρὶς ὄντι A 5. — [12] (ἐπ. δὲ) *om.* A 5, B 1, 2. — [13] ὡστρατιώτης A 3. — [14] συνεπαγόμενος A 5, B 1, 2. — [15] *om.* A 3. — [16] (τὸν - ἐπεκάθητο) τοῦ μὲν καθεζόμενος A 5, B 1, 2. — [17] κυβερνοῦντος ἔχων A 3; (ἕτερον τ. κ.) *om.* A 5, B 1, 2. — [18] ἔχων *add.* A 5, B 1, 2. — [19] τίς τε A 5; τε τίς A 3. — [20] ὁποίας A 5.

α'. Θαῦμα περὶ τοῦ ἀνθρώπου, ὃς[1] ἐμισθώσατο τὴν ἑαυτοῦ ὄνον καὶ δέδωκεν τὸν ἑαυτοῦ υἱὸν πρὸς ὑπουργίαν τοῦ μεταστρέψαι τὴν ὄνον[2].

Ἀνήρ τις[3] πίστιν πολλὴν ἔχων εἰς τὸν ἅγιον μάρτυρα[4] Θεόδωρον καὶ αὐτὸν προστάτην καὶ F
C φροντιστὴν ἑαυτῷ ἐν πᾶσιν ἐπιγραφόμενος, τὴν μνήμην[5] αὐτοῦ καθ' ἕκαστον ἔτος ἑορτάζων οὐ διέλειπεν[6]· οὗτος εἶχεν τέκνον μειράκιον, ἐκέκτητο δὲ καὶ ὄνον πρὸς ὑπηρεσίαν[7] τοῦ οἴκου αὐτοῦ. Ἦλθεν οὖν τις[8] αἰτούμενος αὐτὸν ἐπὶ μισθῷ δοθῆναι αὐτῷ τὴν[9] ὄνον· ἀπῄει δὲ καὶ τὸ παιδάριον μετ' αὐτοῦ[10] ὡς εἰς μακράν τινα ὁδοιπορίαν, ὑποσχόμενον[11] διὰ τάχους σὺν ἀμφοτέροις ἐπανελθεῖν[12]· καὶ ποιήσας αὐτό, ἐν τούτῳ ἀπήρξατο[13] τῆς ὁδοῦ· καὶ ἤρχετο μὲν ἀπὸ[14] ἔθνους εἰς ἔθνος, ἕως[15] ἔφθασεν εἰς τὸ γένος τῶν Ἰσμαηλιτῶν· κἀκεῖ διαπράσας[16] τὸ μειράκιον, οὕτως[17] ἐπὶ γῆς ἄλλης μεθίσταται. Θρηνοῦντος οὖν τοῦ[18] ἀνδρὸς τὴν ὑστέρησιν τοῦ τέκνου, ἔφθασεν[19] ἡ μνήμη τοῦ μάρτυρος· καὶ τὸ σύνολον[20] πρὸς τὴν μνήμην τοῦ ἁγίου οὐκ ἐνενοήσατο[21]. Ἐπιφαίνεται οὖν αὐτῷ ὁ μάρτυς ὡς[22] ἐγκαλῶν περὶ τούτου. Ὁ δὲ ἀντέλεγεν καὶ ἀντεγκαλεῖ αὐτῷ[23] λέγων, ὡς ἄρα μάτην ἔχων τὴν παρ' αὐτοῦ[24] προστασίαν· τοῦτο δὲ οὐ μόνον ἅπαξ ἀλλὰ καὶ δὶς ἐποίησεν. Ὁ δὲ

α'. — [1] ὃν M 1. — [2] θαῦμα τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου M 2. — [3] ἦν τις ἀνὴρ M 2. — [4] μεγαλομάρτυρα M 2. — [5] παρὰ πᾶσιν ἐπιφαιρώμενος καὶ τὰς μνείας M 2. — [6] ἐπιτελῶν M 2. — [7] εἰς τὰς χρείας M 2. — [8] αὐτῷ *add.* M 2. — [9] δ. αὐτῷ ἐπιμισθὸν τὸν M 2. — [10] (π. μ. α.) παιδίον M 2. — [11] ὑποσχόμενος M 2. — [12] (σ. α. ε.) ὑποστρέψαι M 2. — [13] (καὶ π. - ἀπήρξατο) αὐτὸς δὲ ἐξελθὼν ἤρχετο M 2. — [14] ἐξ M 2. — [15] ὡς M 2. — [16] πιπράσας M 2. — [17] καὶ οὗτος M 2. — [18] τὸ M 1. — [19] γὰρ *add.* M 2. — [20] (τ. σ.) τί ποτε M 2. — [21] οὐ προσενοήσατο M 2. — [22] *om.* M 2. — [23] ἀντεφιλονείκει αὐτὸν M 2. — [24] ἔχειν διαἰσχυριζῶμην τὴν παρὰ σου M 2.

(1) Miraculum quod primo loco affert Chrysippus vel simile de adulescentulo ope S. Theodori domum reducto saepius enarratum est, ut ab anonymo Studita in contac. θ' (Comm. praev. n. 36), a Theodoro Pediasimo *BHG*. 1773, Treu, p. 19-20, a Georgio Acropolita (Comm. praev. n. 32, et infra), a Philotheo CPtano, *Orat.* c. 4, (Comm. praev. n. 39, et infra). Significatur et in Menaeo his verbis: *αἰχμαλώτους λυτρῶσαι* (Comm. praev. n. 35) et in synaxario S. Nicolai, Anrich, *Hagios Nikolaos*, p. 207. — (2) Est illa ni fallor verna S. Theodori commemoratio quae non Euchaïtis tantummodo sed et aliis in locis die 8 iunii agebatur. Comm. praev. nn. 49, 58.

παρ'

A παρ' αὐτοῦ μαθὼν δῆθεν τὰ κατ' αὐτόν, προέτρεπε [21] τὴν ἐπάνοδον σὺν αὐτῷ πρὸς τοὺς οἰκείους ποιήσασθαι, παραχωρῶν ὁμοῦ [22] καὶ τὸν ἵππον τὸν ἕτερον, καὶ οὐκ ἐκεῖνον μόνον παραχωρῶν, ἀλλὰ καὶ ταῖς ἑαυτοῦ [23] χερσὶν ἀναλαμβάνων αὐτὸν ἐκ γῆς καὶ ἐπιτιθεὶς αὐτὸν [24] τῇ καθέδρᾳ [25] τοῦ φέρειν μέλλοντος [26]. Ὡς οὖν καὶ [27] ὡδοιπόρουν μετ' ἀλλήλων, ὁπηνίκα τροφῆς τις ἔνδεια [28] κατελάμβανε τὸ μειράκιον, τὴν πήραν ὁ μάρτυς ἀποκαλύπτων [29] ἣν ἔφερεν, ἐξ ἐκείνης ἐπεχορήγει βρῶσιν, ἧς τὴν μὲν φύσιν ὁ νεανίσκος οὐκ ἐπεγίνωσκεν [30], παρ' αὐτῆς δὲ ἐνδυναμούμενος οὐ μετρίως ᾐσθάνετο [31] · καὶ τελεσθείσης μὲν αὐτοῖς οὕτως [32] δι' ἡμερῶν ὀλίγων μακρᾶς ὁδοῦ διάστημα [33], πρὸς τὸν τοῦ μειρακίου παρῆσαν οἶκον [34] ἱππεύοντες. Εἰσαγγελθέντος δὲ τούτου [35] τῷ τὸν υἱὸν [36] θρηνοῦντι, τὴν μὲν διάνοιαν εἰς χαρὰν ἐμερίζετο καὶ κατάπληξιν. Ἐπειδὴ [37] δὲ καὶ ἐκδραμὼν ὑπεδέξατο τὸν υἱόν, εἰσεπήδα μὲν αὖθις ἔνδον, ἵνα παρασκευάσῃ τὰ πρὸς τὴν [38] τοῦ B ἐπιστάντος δεξίωσιν. Ὡς δὲ καὶ ἐκ δευτέρου [39] ἐξέδραμε πρὸς τὸν ἥκοντα μετὰ τῶν ἵππων, ἦν ἀφανὴς ἐκεῖνος καὶ πολλὴ μὲν ἅπαντας τοὺς παρόντας [40] κατεῖχεν ἀμηχανία · πλὴν ἀλλὰ [41] συνεὶς [42] ὅμως ὁ ἄνθρωπος, τίνος τὸ ἔργον ἦν, αὐτόθεν εὐθὺς τὸν ναὸν κατελάμβανε τοῦ ἁγίου μάρτυρος Θεοδώρου [43] ἅπαν τὸ δρᾶμα διεξιὼν [44], ἅπαν κηρύττων τὸ εὐεργέτημα · καὶ ὡς οὐ πεπλασμένος τις ταῦτα μῦθος, ζητεῖν [45] οὐ χρῄζομεν ἀλλαχόθεν ἀπόδειξιν. Αὐτὸς γὰρ ὁ παραδόξως οὕτως ἀνασωθεὶς ἔτι τοῦ βίου μετέχων τοῦ καθ' ἡμᾶς ὡς λόγος [46], καὶ τοῦ [47] συμβάντος περὶ αὐτὸν θαύματος [48] γίνεται πᾶσι [49] διδάσκαλος, ὁ τότε νέος, νῦν [50] σφόδρα πρεσβύτης τὴν ἡλικίαν, ὁ τότε μετὰ ποιμένων ἀγροίκων [51], νῦν μετὰ λογικῶν ποιμένων, ὁ τότε τὰς ἐπὶ τῆς ἐρήμου καθοδηγῶν ἀγέλας, νῦν τῷ κυβερνῶντι τὴν ἐκκλησίαν συγκυβερνῶν.

*equitante*

*ad patrem reducitur.*

LAUDATIO AUCT. CHRYSIPPO

Εὔφρανεν [52] ὑμᾶς εὖ οἶδα [53] καὶ τὸ θαῦμα τοῦ διηγήματος καὶ τὸ ἐπιχαρὲς τοῦ θαύματος. Φέρε [54] οὖν τούτοις ἐπισυνάψωμέν τι καὶ ἕτερον οὐκ ἔλαττον οὔτε χάριτος οὔτε θαύματος [55].

